# ΣΤΟΙΧΕΙΑ ΦΥΣΙΚΗΣ

ΕΚ

ΝΕΩΤΕΡΩΝ ΣΥΝΕΡΑΝΙΣΘΕΝΤΑ

ΥΠΟ

## ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΤΟΥ ΘΕΟΤΟΚΟΥ.

Ἐκδοθέντα

Σπουδῇ τε καὶ φιλοτίμῳ δαπάνῃ τοῦ Ἐλλογιμωτάτου,

καὶ Ἐξοχωτάτου ἐν Ἰατροφιλοσόφοις

ΘΩΜΑ ΜΑΝΔΑΚΑΣΟΥ,

ΤΟΥ ΕΚ ΚΑΣΤΟΡΙΑΣ.

Διορθωθέντα δὲ ὑπὸ

Ἀμβροσίου Ἱερομονάχου,

τοῦ Παμπέρεως.

## ΤΟΜΟΣ Α.

Ἐν Λειψίᾳ τῆς Σαξονίας

ἐν τῇ Τυπογραφίᾳ τοῦ Βρεϊτκόπφ

ἔτει αψξϛ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΟΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Ρ.Ν.Φ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΤΩ

ΕΥΣΕΒΕΣΤΑΤΩ, ΚΑΙ ΥΨΗΛΟΤΑΤΩ

ΑΥΘΕΝΤΗ ΚΥΡΙΩ ΜΟΙ

# ΚΥΡΙΩ

# ΙΩΑΝΝΗ ΓΡΗΓΟΡΙΩ ΑΛΕΞΑΝΔΡΟΥ

# ΓΚΙΚΑ ΒΟΕΒΟΔΑ

ΤΩ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΑΤΩ ΗΓΕΜΟΝΙ ΠΑΣΗΣ

ΜΟΛΔΟΒΛΑΧΙΑΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ἐν τῶν ὅσα τῷ τῆς Ἀρχαιότητος Σεμνολογήματι ἐναβρυνόμενα κατακαλλύνεται καὶ τὸ προσφωνεῖν, καὶ ἀνατιθέναι τινὶ τὰς φιλοπονηθείσας, καὶ κοινῇ ἐκδιδομένας Βίβλους ἀναμφιλέκτως καθέστηκε. καὶ τοσούτῳ μᾶλλον σεμνυνόμενόν τε καὶ θαυμαζόμενον, ὅσῳ ἂν ὁ πρὸς ὃν τὸ Ἀνάθημα προηγμένος εἴη εἰς Ὕψος Ὑπεροχῆς, καὶ Μεγαλειότητος. αὐτὴν ἓν τὴν ὄντως

ΕΦΑ τηρ. τ. Π ΙΩΑΝΝΙΝΑ 2006

πανυπέροχον Μεγαλειότητα, τὴν ὑπὸ τῶν Φυσικῶν, κτητῶν τε ἅμα καὶ προαιρετικῶν Ἀγαθῶν συγκροτουμένην, ἧς οὐ τοῖς πολλοῖς, ἔθ᾽ ὡς τὰ πολλὰ, ἀλλ᾽ ἐνίοις, καὶ ἐςινότε μετοχή τις προσγίνεται, ἐγκεκομβωμένον ἐπεγνωκώς σε, ΗΓΕΜΩΝ ΚΡΑΤΙΣΤΕ, ἐκ μὴ ἐχομένην ἄλλῳ τῳ, εἰ μὴ τῷ σῷ Θεοφρουρήτῳ Κράτει τὴν ἐκπονηθεῖσάν μοι ταύτην Βίβλον προσάγων ἀναθεῖναι. τοῦ γὰρ σοῦ Γένους τὸ μέγα εὖχος, καὶ τὴν λαμπρότητα ΓΚΙΚΑΔΩΝ Γόνον, καὶ Υἱόν σε εἰπών τις τοῦ μεγάλου ἐκείνου, καὶ περιβλέπτου Ἥρωος, τοῦ παρὰ πᾶσιν ἀεὶ ἐκθειαζομένου, καὶ πανδοκλεῶς ταῖς Μνήμαις ἁπάντων ἀλληλοδιαδόχως ἐγκολαπτομένου, τοῦ ἐξ Ἀποῤῥήτων, φημὶ, Ἀλεξάνδρου αὐτίκα μάλα ἀπέδειξεν· ἐκθεὶς ἅμα τῷ λόγῳ τὴν Εὐγένειαν, καὶ τὸ Κλέος, οἷς τὸ σὸν περίσημον Ὄνομα λαμπρῶς συγκλείζεται. τοῦ δὲ τὰ πανυπέρτιμα τῶν Ἀγαθῶν κτητὰ προσγεγονέναι σοι αἱ τῆς μεγάλης Βασιλείου Αὐλῆς Ἀξίαι, καὶ Προτιμήσεις, ὁ περιφανής τε τῆς τῶν Δακῶν Ἡγεμονίας Θρόνος, καὶ τὸ τῆς κηδεμονικῆς Δεσποτείας, καὶ Κυριότητος Σκῆπτρον Ἀποδείξεις

τυγχά-

Ε. Λάππας ΚΕΠΙ ΙΩΑΝΝΙΝΑ 2006

τυγχάνεσιν αὐταῖς ταῖς τῶν Γεωμετρῶν ἀπταίστοις παρεμφερεῖςτε καὶ παραπλήσιαι. τὶ δ' ἂν εἴποι τὶς καὶ περὶ τῆς ὑπὲρ ἐκ περιοσῦ προϊέσης Ἀρετῆς ἐκ τῆς θαυμασίυ Προαιρέσεως τῆς βασιλικῆς χρισοδιαθέτυ Ψυχῆςσοι; σὺ γὰρ τῷ τῦ μεγάλυ Διερμινέως Ἀξιώματι ἔτι εὐδιαπρέπων, προςάτης, καὶ ὑπερασπιςὴς παντὸς τῦ ὀρθοδόξυ Γένυς ἀναδέδειξαι, ὡς καὶ αὐτὸς πάνυ σαφῶς διέγνωνσε τὰ βέλτιςα αὐτῦ προνοέμενον καὶ ἐξ ἄλλων πολλῶν, καὶ παντοδαπῶν ἐυεργετημάτων, καὶ ἐξ ὧνμε, τῦ παναγιωτάτυ Ἰωαννικίυ τὴν διδασκαλικὴν Ἐπιςασίαν τῦ ἐν Ἄθῳ κοινῦ Μυσείυ ἀναδέξαςθαι κελεύοντος, γράφων προέτρεπες, κωλυθέντα τῦ Ἐγχειρήματος ἐπὶ τῦ παναγιωτάτυ Σεραφεὶμ συνοδικῷ Ἐπιτάγματι προσκληθέντα, διὰ τὸ Νόμῳ Φύσεως τῇ Μητρὶ χαρίσαςθαι. καὶ γὰρ καὶ ἠγγύας ὑπὲρ τῆς καλῆς, κἀγαθῆς τέτυ Ἐκβάσεως, τῶν κοινῶν, ὡς τῶν ἰδίων κηδόμενος. ὢ τῆς ἄγαν ἐλευθερίυ, καὶ Πνεύματος Χριςῦ πεπληρωμένης συ Διαθέσεως. ἣν περ καὶ τότε, καὶ νῦν, καὶ διὰ Βίυ θαυμάζων, ὐ κορέννυμι. παντεργικῇ δὲ Συνεργείᾳ ὕςερον τῦ ἡγεμονικῦ

Κράτους ἐγχειρισθέντος σοι, τὸ τῆς εὐδαιμονίας Φῶς τῇ Δακίᾳ πάσῃ ἀνατέταλκεν. ἰὼ γὰρ ἰδεῖν παραχρῆμα σύμπαν μὲν φαῦλον ἐκ Ποδῶν, χρηςὸν δ᾽ ἅπαν ἐν Χεροῖν κείμενον. οὐδεὶς ἔτι ἀδικῶν, ἢ ἀδικούμενος. διὰ γὰρ τὸ μακρὰν ἐξαλαθῆναι τὴν ἀδικίαν, τὸ δικαιοπραγεῖν ἐν πᾶσι, πάντοτε, πανταχοῦ ἀντεισαχθὲν τὴν ἐπικράτειαν ἔσχεν. ἀριςίνδην πᾶσαι αἱ τῶν Ἀρχόντων ἐκλογαί, οὐ πλουτίνδην γίνονται, καθότι ἡ Ἀρετή ἐςι τὸ τιμώμενον, αὐτῇ τε καὶ οὐκ ἄλλῳ τῶν ὅσα τοῖς πολλοῖς περισπούδαςα τὸ Πρεσβεῖον ἐπιδίδοται. Ναοί, τὰ τῆς Θεοσεβείας σήμαντρα περιφανῶς ἀνεγείρονται. Μοῦσαι τῆς τῶν Ἀνθρώπων εὐημερίας αἱ Πρόξενοί τε καὶ Ἔφοροι φιλοφρόνως ἀνακαλοῦνται. πολλοῖς, καὶ ποικίλοις Καλλιεργήμασι καινοπρεπῶς ἡ Πόλις ἐγκαλλωπίζεται. εὐποιϊῶν παντοδαπῶν ἁπαξάπαντες δαψιλῶς ἀπολαύουσι. πάντα γὰρ ὅσα πᾶσι κοινῶς ἐπωφελῆ, ταῦτα τῆς ἀξιαγάςου σοι Ψυχῆς μελέτη τε καὶ σπουδή, καὶ ἐνδελεχὲς ἐντρύφημα. ἐξ ὧν οὐ μόνον ςήλην ἀρίςης Ἡγεμονίας, ἀλλὰ καὶ πάντων τῶν ἀνθρωπίνων καλῶν τοῖς τε νῦν, καὶ τοῖς μετέπειτα τὸν σὸν

Βίον,

Βίον, καὶ τὰς σὰς πράξεις παρέχες Θεότευκτον Ἄγαλμα. ἐπ' ἀγαθῇ γὰρ καὶ καλῇ κρηπῖδι τῇ Εὐσεβείᾳ Φρόνησις ἐπιτρέχει σοι, Ἀγάπη, καὶ Δικαιοσύνη ἐπανθεῖ, καὶ ὁ τῶν λοιπῶν Ἀρετῶν ὅμιλος συνῆλθεν ἡ χρυσῆ ὄντως Σειρὰ, καὶ τοῖς πολλοῖς ἄπλοκος, ἣν σὺ πάντων ἄριστα διαπλέξας, ξαίνων Ἁρμονίαν συναπειργάσω. διαιωνίσαι ἄρα τούτοις τ' ἀγαθὸν πᾶσιν εὐκταῖον· περὶ οὗ καὶ χρηστοὶ ἤδη προέκυψαν Ἐλπίδες. ὁ γὰρ Κληρονομίαν διδοὺς τοῖς Φοβουμένοις τὸ Ὄνομα αὐτοῦ Υἱέας σοι παρέχετο, οἵους ἐκ πρώτης αὐτῶν Βαλβίδος ἔδει τοὺς ἐκ τοιούτου Πατρὸς γεννηθέντας χαρακτηρίζεσθαι. Ἀνδρὶ τοίνυν τοσαύταις, καὶ τοιαύταις κατακεκοσμημένῳ Χάρισιν, εὐλόγως ἂν πεισθείη ἕκαστος, ὑπ' ἐμοῦ εἰκότως τήνδε μοι τὴν Βίβλον προσενεχθῆναι. ἄλλως τε καὶ τοῦ ἐποφειλομένου μοι Χρέους μικρόν τι οἱονεὶ δεῖγμα αἱρουμένου τὴν Ἀνάθεσιν ποιήσασθαι ὑπὲρ ὧν πάλαι τε καὶ ἀρτίως παρ' αὐτοῦ ἀξιώσεων τετυχηκὼς ἀπήλαυσα· εὐμενῶς οὖν προσδέξαιο αὐτὴν ΗΓΕΜΩΝ ΓΑΛΗΝΟΤΑΤΕ, καὶ ΘΕΟΔΟΞΑΣΤΕ, καὶ θυμήρει ἐπ' αὐτὴν ἐπιβλέψαις τῷ Ὄμματι, ἵνα

# ΑΦΙΕΡΩΣΙΣ.

τῇ πανευκλεεστάτῃ τῆς σῆς ἐνδόξου Μεγαλειότητος λαμπρότητι περιαυγασθεῖσα, καὶ καταστίλψασα, εἰς Αἶνον μὲν εἴη τοῦ σοῦ Θεοφρουρήτου Κράτους, τοῦ καὶ τὰ τοιαῦτα ἐκτελεῖν ἰσχύοντος, χαρμονὴ δὲ ἐμοί, εὔκλειά τε καὶ ἐγκαλλώπισμα τῆς τοῦ μεγαλοπρεπεστάτου σοι Ὕψους κρατίστης Χάριτος ἀξιωθέντι.

ΤΗΣ

ΥΜΕΤΕΡΑΣ ΘΕΟΣΕΒΕΣΤΑΤΗΣ

ΥΨΗΛΟΤΗΤΟΣ

ἐν Λειψίᾳ αψξς΄.
Σεπτεμβρίου κ.

δοῦλος ὑποκλινέστατος

ΝΙΚΗΦΟΡΟΣ ΙΕΡΟΜΟΝΑΧΟΣ

Ο ΘΕΟΤΟΚΗΣ.

ΤΩ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

# ΤΩ
# ΕΝΤΕΥΞΟΜΕΝΩ.

Μηδὲν, ὦ Φιλεπιστήμων, τῶν προσόντων τοῖς ἐπὶ ἐκδόσει ξυγγράφειν τι ᾑρημένοις, καὶ ὧν ἄνευ οὐδὲ ἐπελπίζει τὶς πώποτε αὐτουργὸς ἀξιολόγου Συγγράμματος γενέσθαι, Φυσιολογίας μάλιστα, τῆς κατὰ τούσδε τοὺς Καιροὺς ἐν τοσαύταις, καὶ τοιαύταις Σοφῶν Ἀκαδημίαις ἐπακμαζούσης, ὑπολάβοις ἂν εἶναι τὸ τοσοῦτον θαῤῥαλέον, ἢ μᾶλλον εἰπεῖν θρασὺ, καὶ τολμηρόν με πεποιηκός. ἀλλὰ τὸ τοῦ ὑπερπεφιλημένου μοι Γένους Φίλτρον, τὸ τοσοῦτον ἰσχύσαν, ὥστε καὶ τοῦ ἐμαυτὸν γνῶναι πόῤῥω ἐξελάσαι με. καὶ γὰρ προσέχων τὸν Νοῦν τῇ τε τοῦ Ἐγχειρήματος δυσχερείᾳ, καὶ τῷ ἐπισυμβαίνοντι τοῖς τῶν Φυσικῶν Παιδείας γλιχομένοις, καὶ ἕλληνος Λόγου μόνου μετέχουσι. καὶ τὸ μὲν καὶ μάλα ἐπιζήμιον συνορῶν, καθότι οὐκ ἂν εἴη ἐγκρατεῖς αὐτοὺς γενέσθαι τοῦ καθ' ὃν δεῖ Φυσιολογεῖν Τρόπου, καὶ τῆς ἀκριβοῦς τῶν ἐκ τῆς Φύσεως γινομένων Γνώσεως σὺν πᾶσι τοῖς ἄχρι τοῦ νῦν εὑρεθεῖσι παρὰ τῶν καινῇ Μεθόδῳ, καὶ Τάξει τὰ τῆς Φύσεως ἀκριβούντων· ἔχων ἀδιαλείπτως πρὸ τῶν Ὀφθαλμῶν καὶ τὸ ἐπίμοχθον, καὶ ἐργῶδες τῆς τῶν Σχεδίων Ἀντιγραφῆς, ἅτε δὴ καὶ παντοίων Σχημάτων πεπληρωμένων, ἐξ οὗ καὶ ἔνιοι τῶν κατ' ἔρωτα Μαθήσεως παρ' ἡμᾶς φοιτώντων



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

μέσῃ πȣ τῇ Ὁδῷ ὀκλάζοντες, καὶ ἀπαυδῶντες, καὶ τὰ Νῶτα στρέφοντες, ἀτελεῖς ᾤχοντο, ȣ̓ μέσως ἤγαλλον, καὶ ἀθαρσῶς τȣ̃ Ἔργȣ ἐπιλαβέσθαι ἤθελον, κἂν ἔτι καὶ γένοιτο. τὴν δὲ ἀδιεξήτητον, καὶ ἀκατάλυτον, καὶ τὸν τȣ̃ Ἀπείρȣ λόγον ἔχȣσαν πρὸς τὰς ἐμὰς Δυνάμεις, καὶ Ἕξεις ἀναλογιζόμενος διὰ τὸ τῶν Νοημάτων ὑψηλὸν, καὶ δυσέκφραστον, καὶ τὴν τῆς Σημασίας τῶν νεωστὶ εὑρεθέντων Ἀπορίαν, ȣ̓ μὴν ἀλλὰ καὶ τὴν Σπάνιν, ἢ κρεῖσσον εἰπεῖν Ἀποστέρησιν τῶν παραπλήσια τȣ́τοις ἐμπεριλαμβανȣσῶν ἑλληνικῶν Βίβλων, ὅθεν καὶ τὰ συνοίσοντα ἐνῆν ἀπαρύσασθαι· καὶ δέει περικρατȣ́μενος μὴ πρὸς τῷ ἀποτυχεῖν τȣ̃ σκοπȣ̃, καὶ ὄνειδος ἐμαυτῷ ἐπάξω, ἀνεδυόμην, μηδὲ γȣ̃ν ἐφάψασθαι τȣ́τȣ ἀποθαῤῥῶν. τῶν δύω δὲ τȣ́των πολλάκις ἀναπολȣμένων, καὶ ἀνακρινομένων, καὶ ἀλληλομαχȣ́ντων τὸ ἕτερον κατὰ τȣ̃ ἑτέρȣ Τρόπαιον ἆραν αἰχμάλωτον εἷλέ με μὴ τὸ ἴδιον ἐμαυτȣ̃, ἀλλὰ καὶ τὸ τῶν πολλῶν ἐκζητεῖν ἀναπεῖθον. ὅθεν τὴν ἐνεγκȣ̃σαν καταλιπὼν, καὶ ὅσα αὕτη φίλα ἔχȣσα παρέχει, μακράν τε, ἐπίπονον, καὶ δαπανηρὰν Ὁδὸν διανύσας, τὴν ἐν Σαξονίᾳ Λειψίαν κατέλαβον. ἔνθα δὴ οἵας συναντιλήψεως ἔτυχον, ȣ̓ παρασιωπητέον. ὁ ἐκ Καστορίας Ἰατροφιλόσοφος Θωμᾶς ὁ Μανδακάσης Ἀνὴρ τῷόντι ἀγαθὸς, καὶ φιλόθεος, καὶ παντὸς Ἔργȣ ἀγαθȣ̃ προϊστάμενος, καὶ διὰ τὴν Ἀρετὴν ȣ̓χ ἧττον, ἢ διὰ τὸ ἐπὶ Φιλοσοφίᾳ, καὶ τῇ λοιπῇ Παιδείᾳ εὐδόκιμον, καὶ αὐτοῖς τοῖς ἀλλογενέσιν αἰδέσιμος. καὶ γὰρ καὶ ἡ ἐνταῦθα περικλεὴς Ἀκαδημία θεωρητικῆς, καὶ πρακτικῆς Ἰατρικῆς Ἕξεως, καὶ τὰ λοιπὰ ὅσα τὸν ἄριστον Ἰατρὸν συνιστῶσιν αὐτῷ συνειδȣ̃σα, καὶ διὰ πάσης τιμῆς ἄγȣσα, ἐλευθέρως τὴν θεραπευτικὴν μετιέναι ἐπέτρεψεν. ȣ̓̃τος ȣ̓̃ν τȣ̃ ἐπειλημμένȣ τȣτȣῒ ἐποιεῖν Ἔργȣ συναῤῥωγὸς, καὶ συναίτιος ἀναδέδεικται πᾶν ἐμποδὼν ἐκ μέσȣ ἑλὼν, καὶ οἰκείᾳ Δαπάνῃ τὴν Βίβλον ἐκδȣ̃ναι αὐθαιρέτως τε καὶ προθύμως φιλοτιμησάμενος. ὥστε αὐτῷ μὲν ἔτι καλὸν, ἐπωφελὲς, Ὀνήσεως, καὶ Ἀκέσματος ἄξιον ἀνακτέον, ἐμοὶ δὲ καὶ ἄλλως πως ἐν αὐτῇ ἔχοιτο, καὶ μάλα εἰκότως.

τως. ἀλλὰ τί; οὐκ ἂν ἄρα Συγγνώμης ἀξιωθείην, μηδενὸς Ὑποδείγματι χειραγωγηθεὶς, ἢ ξυμβοηθηθεὶς, πρῶτος δὲ τολμήσας τῶν Φυσικῶν Φιλοσοφημάτων τὰ Νέα τῇ παλαιᾷ, καὶ μητρὶ, ἵν' οὕτως εἴπω, ἁπάσης Φιλοσοφίας Ἑλληνίδι Διαλέκτῳ ὁπωσοῦν ἐκφράσαι, καὶ τοῦτο οὐκ ἄλλου τε οὕνεκα, εἰμὴ τῆς τῶν Ὁμοφύλων ἐπιδόσεως; οὐκ ἔσθ' ὅπως ἂν πειραίμην, κἂν μυρία ᾖ τὰ διημαρτημένα, κἂν λίαν δεινοὶ, καὶ αὐστηροὶ οἱ δικάσοντες. συνεθέμην δὲ τὸ κατ' ἐπιτομὴν τουτοὶ Πονημάτιον Λέξει συνήθει τε καὶ πεζῇ, καὶ μὴν καὶ Συνθήκῃ τῶν Ὀνομάτων ἀτέχνῳ, καὶ πάσης δεινότητος ἀμοιρούσῃ, τὸ σαφὲς, καὶ εὔληπτον, καὶ οὐδὲν ἕτερον σκοπούμενος. καὶ γὰρ ὥς ἔμοιγε δοκεῖ, τοὺς ἐπιστημονικόν τι φιλοπονοῦντας Σύνταγμα φεύγειν δεῖ, καθ' ὅσον οἷόν τε, τὴν τοῦ λέγειν δυσχέρειαν, ἵνα μὴ πρὸς τῷ Φύσει δυσεφίκτῳ τοῦ Νοήματος καὶ αὕτη προστιθεμένη, καὶ ἄπορα, δύσληπτα, ἢ καὶ πάντῃ ἀκατάληπτα τὰ ἐν αὐτῷ ἀπεργαζομένη, κενοὺς, καὶ κεχηνότας ἐκλίπῃ τοὺς τῇ Μελέτῃ προσέχοντας, μηδὲν ἐξ αὐτοῦ ἐπικαρπώσασθαι, ἢ ἀπόνασθαι δυναμένους. ἀλλ' οὐδὲ εὖ φρονῶν τις εἴποι ἂν, ὅτι Λέξεως, ἢ Διαλέκτου Παιδεία ἐστὶν ὁ τῆς ἐπιστημονικῆς Βίβλου σκοπός. παραπαίων δ' ἂν εἴη καὶ ὁ τοιᾷδε τινὶ ἐλπίδι αὐτὴν μετερχόμενος. τούτων οὕνεκα καὶ οἱ νεώτεροι τῶν Ἐπιστημῶν Συγγραφεῖς εὐφραδίας, καὶ λόγου δεινότητος, τοῖς ἐπιδεικτικοῖς τῶν Λόγων ἀνηκουσῶν, πάνυ καλῶς ποιοῦντες, ὀλιγωροῦσιν, εἰς ἓν καὶ μόνον τὸ σαφὲς ἀφορῶντες. διόπερ καίτινας τῶν Ἐπιστημῶν τῇ ἐγχωρίῳ αὐτῶν Διαλέκτῳ συνέγραψαν. ἐπεὶ δὲ τὴν Βίβλον πᾶσαν ἐκ τῶν ἀρτίως τὰ τῆς Φύσεως πολυπραγμονησάντων συνερανισάμην, ταύτῃ τοι καὶ ὡς Ὑπόθεσιν ψιλὴν τὴν τῆς Γῆς Κίνησιν ἐκλαβὼν, κινητὴν αὐτὴν εἰπεῖν σχολῇ γε συνεστάλην. καὶ τῷ τριπλῷ δὲ τῆς Ἀποδείξεως ἐχρησάμην, ἀρίστῳ δόξαντι ἐν τῇ τῶν προτιθεμένων ἐμπεδώσει. ἐξ οὗ καὶ αἱ συνθετικαὶ, καὶ ἀναλυτικαὶ Ἀποδείξεις ἀναγκαίως συνεστήχθησαν. τοῦ μὲν γὰρ αὐτὸς ἔφα πόῤῥω τῶν Φυσικῶν Ἀκουσμάτων ἐξωθοῦντος, κἂν ὁποιοσοῦν ᾖ ὁ φήσας,

καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ. Δήμας κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ πασῶν τῶν κατ' ἀρέσκειαν πεπλασμένων Ὑποθέσεων σὺν ταῖς ἀκατάληπτά τινα σημαινούσαις Λέξεσι μακρὰν ἀπορριφεισῶν, τοῦ δὲ ἐλευθέρως συλλογίζεσθαι, καὶ ἐκ τῶν ὁμολογουμένων ἐμφαντικοῖς Ὀνόμασι φυσιολογεῖν ἀντιταχθέντων, πᾶν τὸ προτιθέμενον ἤτοι Λόγῳ, ἢ Πείρᾳ, ἢ Ἱστορίᾳ, ἢ τοῖς δυσὶν, ἢ τοῖς τρισὶν ἅμα ἀποδείκνυται. Λόγῳ δῆθεν γεωμετρικῷ, τῷ τε κατὰ Σύνθεσιν, καὶ τῷ κατ' Ἀνάλυσιν· Πείρᾳ δὲ οὐ τῇ ἅπαξ, ἀλλὰ τῇ ἀεὶ ὁμοίως γινομένῃ, καὶ τὸ αὐτὸ διαπαντὸς δεικνυούσῃ· Ἱστορίᾳ δὲ, τῇ τῶν Φυσικῶν Ἀποτελεσμάτων ἀκριβεῖ, καὶ πολυετεῖ πολλῶν σοφῶν Θεωρίᾳ, καὶ Παρατηρήσει. ἐκ τούτων οὖν παρῆκται καὶ τὸ ἀληθεύειν τὸ λίαν ἐπωφελὲς, καὶ Φιλοσόφοις πρεπωδέστατον, καὶ τὰ χωρίς τινος Αἰδοῦς, καὶ Ὑποστολῆς λέγειν τε καὶ γράφειν ἔνια μὲν ὑπέρτερα τῶν τοῦ ἡμετέρου Νοὸς Δυνάμεων, ἐνίων δὲ τοὺς Λόγους ἀγνοουμένους, καὶ ἐπιζητουμένους. ὃ πόσον διήνεγκε τοῦ καὶ τὰ ἀκατανόητα συνιέναι ἐπαγγέλλεσθαι, καὶ Πλάσμασιν ὑποθετικοῖς τὸν Νοῦν περιπλανᾷν προφανὲς τυγχάνει, καὶ πρόδηλον. ἔχεις τοιγαροῦν, ὦ Φίλτατε, τήνδε τὴν Βίβλον, εἰμὴ ἄλλοτι δυναμένην, ἀλλὰ δὴ ἀποχρῶσαν ἀνθάψαι σου τῷ Πνεύματι Ζώπυρον, καὶ ἔναυσμα τῆς τῶν Νέων Φιλοσοφημάτων ἐπιποθήσεως. Ἔῤῥωσο.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΙΝΑΞ

# ΠΙΝΑΞ
## ΚΕΦΑΛΑΙΩΔΗΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Εἰσαγωγὴ τῶν τῆς Φυσικῆς Στοιχείων. Σελ. 1.

ΚΕΦ. Α.

Περὶ τῶν τοῦ Σώματος Ἀρχῶν. 11

ΚΕΦ. Β.

Περὶ Σώματος, Κατηγορουμένων, Ἰδιοτήτων, καὶ Φύσεως αὐτοῦ. 16

ΚΕΦ. Γ.

Περὶ Ἐκτάσεως, καὶ τῆς ἀνηκούσης αὐτῇ Διαιρέσεως. 20

ΚΕΦ. Δ.

Περὶ τοῦ τῶν Σωμάτων Σχήματος. 31

ΚΕΦ. Ε.

Περὶ τῆς τῶν Σωμάτων Στεῤῥότητος, καὶ τῶν ἐν αὐτοῖς Πόρων. 35

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΚΕΦ. Ϛ.

Περὶ τῆς τῶν Σωμάτων Ἀδρανείας. 43

ΚΕΦ. Ζ.

Περὶ ἑλκτικῆς Δυνάμεως. 47

ΚΕΦ. Η.

Περὶ Βαρύτητος. 64

ΚΕΦ. Θ.

Περὶ Τόπου, καὶ Χρόνου. 87

ΚΕΦ. Ι.

Περὶ Κινήσεως. 90

ΚΕΦ. ΙΑ.

Περὶ Ἠρεμίας. 108

ΚΕΦ. ΙΒ.

Περὶ τῶν Δυνάμεων τῶν κινηθέντων Σωμάτων. 110

ΚΕΦ. ΙΓ.

Περὶ Κενοῦ. 121

ΚΕΦ. ΙΔ.

Περὶ Μηχανικῆς. 126

ΚΕΦ. ΙΕ.

Περὶ Ζυγοῦ. 132

ΚΕΦ. ΙϚ.

Περὶ Μοχλοῦ. 141



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΚΕΦ. ΙΖ.

Περὶ Τροχȣ̃, καὶ Ἄξονος Ἐντροχίȣ. 151

ΚΕΦ. ΙΗ.

Περὶ Σφηνὸς, κεκλιμένȣ Ἐπιπέδȣ, καὶ Κοχλίȣ. 162

ΚΕΦ. ΙΘ.

Περὶ σιωθέτων μηχανικῶν Ὀργάνων. 171

ΚΕΦ. Κ.

Περὶ τῆς τῶν μηχανικῶν Ὀργάνων Τριβῆς. 181

ΚΕΦ. ΚΑ.

Περὶ σιωθέτȣ Κινήσεως. 191

ΚΕΦ. ΚΒ.

Περὶ Καταβάσεως τῶν Σωμάτων δι' Ἐπιπέδων κεκλιμένων. 208

ΚΕΦ. ΚΓ.

Περὶ τῆς τῶν Ἐκκρεμῶν Περιαγωγῆς. 218

ΚΕΦ. ΚΔ.

Περὶ τῆς τῶν ῥιπτομένων Σωμάτων Κινήσεως. 235

ΚΕΦ. ΚΕ.

Περὶ Συγκρȣ́σεως τῶν Σωμάτων. 244

ΚΕΦ. ΚϚ.

Περὶ κεντρικῶν Δυνάμεων. 262

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΚΕΦ.

# ΠΙΝΑΞ ΚΕΦΑΛΑΙΩΔΗΣ.


ΚΕΦ. ΚΖ.

Περὶ Ῥευστῶν. 271

ΚΕΦ. ΚΗ.

Περὶ Ὑγροστατικῆς, καὶ τῆς ἐκ τῶν Ῥευστῶν Καταθλίψεως. 277

ΚΕΦ. ΚΘ.

Περὶ τῆς τῶν Στερεῶν, καὶ Ῥευστῶν εἰδικῆς Βαρύτητος. 285

ΚΕΦ. Λ.

Περὶ τῆς τῶν Στερεῶν τε καὶ Ῥευστῶν ἐν τοῖς Ῥευστοῖς Καταδύσεως. 289

ΚΕΦ. ΛΑ.

Περὶ Ὑδραυλικῆς, καὶ τῆς ἐκ τῶν Δοχείων Ῥοῆς τῶν Ῥευστῶν. 310

ΚΕΦ. ΛΒ.

Περὶ τῆς δι' Αὐλάκων, καὶ Σιφώνων Ῥοῆς τῶν Ῥευστῶν. 318


Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΕΙΣΑ-